Τοῦ γὰρ τόπου ἕνεκεν ὥστε ἐναλλαγῆναι, μήτε αὐτοῖς μηδὲ ἄλλῳ μηδενὶ ἐνοχλήσητε. Δεδέγμεθα τὴν χάριν. Ἴσως γὰρ ἠβουλήθησαν καὶ οὐκ ἠδυνήθησαν. Δόξα τῷ Θεῷ πάντων ἕνεκεν· οὐ γὰρ παύσομαι τοῦτο ἐπιλέγων ἀεὶ ἐπὶ πᾶσί μοι τοῖς συμβαίνουσιν. Ἔστω τοῦτο· οὐκ ἠδυνήθησαν. Μὴ καὶ γράφειν οὐκ ἠδύναντο ;

**c.** Πολλὰ εὐχαρίστησον ταῖς κυρίαις μου ταῖς ἀδελφαῖς τοῦ κυρίου μου τοῦ τιμιωτάτου ἐπισκόπου Περγαμίου, πολλὴν ὑπὲρ ἡμῶν ποιουμέναις σπουδήν. Καὶ γὰρ τὸν κύριόν μου τὸν δοῦκα τὸν γαμβρὸν αὐτοῦ σφόδρα παρεσκεύασαν περὶ ἡμᾶς διακεῖσθαι, ὡς σφόδρα κἀκεῖνον ἐπιθυμεῖν ἡμᾶς ἐκεῖσε εἶναι.

**d.** Καὶ αὐτὴ δὲ συνεχῶς ἡμῖν δήλου τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τῶν ἀγαπώντων ἡμᾶς. Ἡμῶν δὲ ἕνεκεν ἄφροντις ἔσο. Καὶ γὰρ ἐν ὑγιείᾳ ἐσμὲν καὶ εὐθυμίᾳ καὶ πολλῆς ἀπολαύομεν τῆς ἀνέσεως, μέχρι τῆς σήμερον ἡμέρας. Ἐπιθυμοῦμεν δὲ μαθεῖν περὶ τῶν κατὰ Κυριακὸν τὸν ἐπίσκοπον εἰ ἀφέθησαν· καὶ οὐδεὶς ἡμῖν σαφὲς οὐδὲν ἀπήγγειλεν· καὶ τοῦτο ἡμῖν δηλώσατε. Εἰπὲ Κυριακῷ τῷ ἐπισκόπῳ ὅτι λυπούμενος αὐτῷ οὐκ ἐπιστέλλω.